τὸν σὸν δὲ πατέρα καὶ σὲ κἀδελφὴν θανεῖν,
μητέρα τ᾽· ἐῶ τοῦτ᾽· οὐ γὰρ εὐπρεπὲς λέγειν·
δόμους δ᾽ ἔχειν σοὺς δι᾽ Ἀγαμέμνονος δόρυ
λαβόντα νύμφην· μὴ γὰρ οὖν ζῴην ἔτι,
ἢν μὴ ᾽π᾽ ἐκείνῃ φάσγανον σπάσω μέλαν.
ἢν δ᾽ οὖν τὸν Ἑλένης μὴ κατάσχωμεν φόνον,
πρήσαντες οἴκους τούσδε κατθανούμεθα.
ἑνὸς γὰρ οὐ σφαλέντες ἕξομεν κλέος,
καλῶς θανόντες ἢ καλῶς σεσῳσμένοι.

ΧΟ. πάσαις γυναιξὶν ἀξία στυγεῖν ἔφυ
ἡ Τυνδαρὶς παῖς, ἣ κατῄσχυνεν γένος.

ΟΡ. φεῦ·
οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφής,
οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου.
σὺ γὰρ τά τ᾽ εἰς Αἴγισθον ἐξεῦρες κακὰ
καὶ πλησίον παρῆσθα κινδύνων ἐμοί,
νῦν τ᾽ αὖ δίδως μοι πολεμίων τιμωρίαν
κοὐκ ἐκποδὼν εἶ. παύσομαί σ᾽ αἰνῶν, ἐπεὶ
βάρος τι κἀν τῷδ᾽ ἐστίν, αἰνεῖσθαι λίαν.
ἐγὼ δὲ πάντως ἐκπνέων ψυχὴν ἐμὴν
δράσας τι χρῄζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν,
ἵν᾽ ἀνταναλώσω μὲν οἵ με προὔδοσαν,
στένωσι δ᾽ οἵπερ κἄμ᾽ ἔθηκαν ἄθλιον.
Ἀγαμέμνονός τοι παῖς πέφυχ᾽, ὃς Ἑλλάδος
ἦρξ᾽ ἀξιωθείς, οὐ τύραννος, ἀλλ᾽ ὅμως
ῥώμην θεοῦ τιν᾽ ἔσχ᾽· ὃν οὐ καταισχυνῶ
δοῦλον παρασχὼν θάνατον, ἀλλ᾽ ἐλευθέρως
ψυχὴν ἀφήσω, Μενέλεων δὲ τίσομαι.
ἑνὸς γὰρ εἰ λαβοίμεθ᾽, εὐτυχοῖμεν ἄν,
εἴ ποθεν ἄελπτος παραπέσοι σωτηρία
κτανοῦσι μὴ θανοῦσιν· εὔχομαι τάδε.

---

1144. κτανεῖν F 1146. τ᾽ B 1148. σπασόμεθα (om. μέλαν) B 1154. λέχος B 1155. σαφής γρ. καὶ ἀληθής A σαφής ceteri. 1160. δ᾽ BF 1165. ἀνταναλώσω μέν] Canterus, ἀνταναλώσωμεν libri. 1166. θ᾽ C 1172. λάβοιμεν C 1174. οὐ θανοῦσιν BC